Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: eqa-aa

*Ἀνανίος ὁ Ἰαμβοποιός* · Ananius the Iambic Poet

# Fragments on Pleasures

*Ἀποσπάσματα περὶ Ἡδονῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἄπολλον, ὅς
book 1.2 που Δῆλον ἢ Πυθῶν' ἔχεις ἢ Νάξον ἢ Μίλητον ἢ θείην Κλάρον, ἵκεο καθ' ἱέρ' ἢ Σκύθας ἀφίξεαι.
book 2 χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἆλλα.
book 3.1 εἴ τις καθείρξαι
book 3.2 χρυσὸν ἐν δόμοις
book 3.3 πολὺν καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους, γνοίη χ' ὅσωι τὰ σῦκα
book 3.4 τοῦ χρυσοῦ κρέσσω.
book 4 καὶ σὲ πολλὸν ἀνθρώπων ἐγὼ φιλέω μάλιστα, ναὶ μὰ τὴν κράμβην.
book 5.1 ◌ἔαρι μὲν
book 5.2 χρόμιος ἄριστος, ἀνθίης δὲ χειμῶνι· τῶν καλῶν δ' ὄψων ἄριστον καρὶς ἐκ
book 5.3 συκέης φύλλου. ἡδὺ δ' ἐσθίειν
book 5.4 χιμαίρης φθινοπωρισμῶι κρέας· δέλφακος δ' ὅταν
book 5.5 τραπέωσιν καὶ πατέωσιν ἐσθίειν,[ln_5]καὶ κυνῶν αὑτὴ τόθ' ὥρη καὶ λαγῶν κἀλωπέκων. οἰὸς αὖθ', ὅταν θέρος τ' ἦι κἠχέται βαβράζωσιν· εἶτα δ' ἐστὶν ἐκ θαλάσσης θύννος οὐ κακὸν βρῶμα, ἀλλὰ πᾶσιν ἰχθύεσσιν ἐμπρεπὴς ἐν μυσσωτῶι. βοῦς δὲ πιανθείς, δοκέω μέν, καὶ μεσέων νυκτῶν ἡδὺς[ln_10]κἠμέρης.